# Χριστιανισμὸς μεταξὺ Θρᾳκῶν



Ἰωάννου, ἀρχιεπ. Κπ. τοῦ Χρυσοστόμου: Ὁμιλία Η'.
Ἐν ἐκδόσει Montfaucon τ. XII σ. 371

Τοῦ αὐτοῦ ὁμιλία λεχθεῖσα ἐν τῇ ἐκκλησίᾳ τῇ ἐπὶ Παύλου, Γότθων ἀναγνόντων, καὶ πρεσβυτέρου Γότθου προομιλήσαντος.

Ἐβουλόμην παρεῖναι Ἕλληνας σήμερον, ὥστε τῶν ἀνεγνωσμένων ἀκοῦσαι καὶ μαθεῖν πόση τοῦ σταυρωθέντος ἡ ἰσχύς, πόση τοῦ σταυροῦ ἡ δύναμις, πόση τῆς ἐκκλησίας ἡ εὐγένεια, πόση τῆς πίστεως ἡ εὐτονία, πόση τῆς πλάνης ἡ αἰσχύνη, πόσος τῶν δαιμόνων ὁ γέλως.

Τὰ μὲν γὰρ τῶν φιλοσόφων καὶ παρὰ τοῖς ὁμοφώνοις καταγέλαστα, τὰ δὲ ἡμέτερα καὶ παρὰ ἑτερογλώσσοις πολλὴν ἔχει δύναμιν· καὶ τὰ μὲν ἀράχνης εὐκολώτερον διελύθη, τὰ δὲ ἀδάμαντος στερρότερον πέπηγε. ... [Barbarae gentes ... conversae Scripturas in linguam suam]

Τὰ τῶν ἁλιέων καὶ σκηνοποιῶν οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν βαρβάρων γλώττῃ, καθάπερ ἠκούσατε σήμερον, ἀπὸ ἡλίου λαμπρότερα διαλάμπει, καὶ Σκύθαι καὶ Θρᾷκες καὶ Σαυρομάται καὶ Μαῦροι καὶ Ἰνδοὶ καὶ οἱ πρὸς αὐτὰς ἀπῳκισμένοι τὰς ἐσχατιὰς τῆς οἰκουμένης, εἰς τὴν οἰκείαν ἕκαστος μεταβαλόντες γλῶτταν, τὰ εἰρημένα φιλοσοφοῦσι ταῦτα. ------

Διὰ δὴ τοῦτο ... οὐ τὴν Ἑλλάδα μόνην, ἀλλὰ καὶ τὴν βάρβαρον ... ἐσαγήνευσαν.

Οὐ μέχρι δὲ τούτων, ἀλλὰ καὶ περαιτέρω προῆλθον, καὶ τῇ καθ' ἡμᾶς οὐκ ἀρκεσθέντες οἰκουμένῃ, πρὸς αὐτὸν ἐξέβησαν τὸν Ὠκεανόν, καὶ τὰς βαρβαρικὰς χώρας καὶ τὰς Βρεττανικὰς νήσους εἴσω τῶν οἰκείων δικτύων ἔλαβον· καὶ ὅπου γὰρ ἂν ἀφίκῃ λοιπόν, τῶν ἁλιέων ὄψει τὰ ὀνόματα ἐν τοῖς ἁπάντων στόμασι περιφερόμενα. ... [Chrysostomus Gothos seu barbaros in ecclesia loqui jussit.]

Μὴ τοίνυν αἰσχύνην εἶναι ἡγεῖσθαι τῆς ἐκκλησίας, ὅτι βαρβάρους εἰς μέσον ἀναστῆναι καὶ εἰπεῖν παρεσκευάσαμεν· τοῦτο γὰρ τῆς ἐκκλησίας κόσμος, τοῦτο καλλώπισμα, τοῦτο τῆς ἐν τῇ πίστει δυνάμεως ἀπόδειξις· τοῦτο καὶ ὁ προφήτης ἄνωθεν προαναφωνῶν ἔλεγεν·

Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν· εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

2/



Καὶ τοῦτο σήμερον ἑωράκατε, τοὺς πάλαι ἀνθρώπων βαρβαρικωτέρους μετὰ ταύτης ἐπιμονίας προβάλλων ἑαυτούς, καὶ κοινὴν οὖσαν τὴν νομὴν τὸν σκοπὸν ἕνα, ζητεῖν ἅπασι τράπεζαν προκειμένην. — — — ;

BROOKDALE LINEN BOND
WHITE
17 x 22 – 16
HENRY LINDENMEYR & SONS
NEW YORK.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ